# 16 DECEMBRIE
# HARALAMBOS BOUSIA

# PARACLISUL SF.ÎMPĂRĂTESE TEOFANA A BIZANŢULUI



ATENA,2015


Η ΑΓΙΑ
ΘΕΟΦΑΝΩ

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ τῆς Ὁσίας Μητρὸς ἡμῶν ΘΕΟΦΑΝΟΥΣ τῆς ΒΑΣΙΛΙΔΟΣ

Ἡ μνήμη αὐτῆς τελεῖται τῇ 16ῃ Δεκεμβρίου

**Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ «Κύριε εἰσάκουσον», μεθ' ὃ τὸ «Θεὸς Κύριος», ὡς συνήθως, καὶ τὸ ἑξῆς:**

*Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Δικαιοσύνης ἐποφθεῖσα ἐργάτις
καὶ ἐναρέτου ὑποτύπωσις βίου,
Θεοφανὼ βασίλισσα, πενήτων τροφέ,
χάριν θείαν εἴληφας ἱκετεύειν ἀπαύστως
τῷ Χριστῷ διδόναι μοι ψυχικὴν εὐῤῥωστίαν,
ἵνα τὴν πλάνην πᾶσαν τοῦ ἐχθροῦ,
τοῦ μισοκάλου, διώξω ὁ δύστηνος.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;

www.tezaurliturgic.ro



Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:**

**«ΑΝΑΣΣΗΣ ΘΕΟΦΑΝΟΥΣ ΤΑΣ ΛΙΤΑΣ ΑΙΤΟΥΜΑΙ. Χ(αραλάμπους)»**

**Ὠδὴ α΄.** *Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ἀφάτου πρὸς πέλας καὶ πρὸς Θεὸν
ἀγάπης ταμεῖον
ἀδαπάνητον, βασιλίς,
αἰνέσεως πλήρωσον τὸ στόμα,
Θεοφανώ, τοῦ ἱκέτου σου δέομαι.

Νυκτὸς καὶ ἡμέρας, Θεοφανώ,
ψαλμοῖς τε καὶ ὕμνοις
θεραπεύειν τὸν Λυτρωτὴν
οὐκ ἔλειπες· ὅθεν δυσωπῶ σε
ὑμνεῖν Χριστόν με ἀπαύστως ἀξίωσον.

Αὐτάρκειαν χήραις καὶ ὀρφανοῖς
πιστῶς χορηγοῦσα
ἀνεδείχθης, Θεοφανώ,
τροφὸς γλυκυτάτη τοῦ λαοῦ σου
καὶ τῶν τιμώντων σε νῦν, θεία πρέσβειρα.

**Θεοτοκίον.**

Συντήρει τοὺς πόθῳ τὸν σὸν Υἱὸν
τιμῶντας, Παρθένε,
κατὰ σῶμά τε καὶ ψυχὴν
ἁγνούς, λογισμοὺς τοῦ μισοκάλου
τοὺς ἐναγεῖς πόρρω τάχος διώκουσα.

www.tezaurliturgic.ro



**Ὠδὴ γ'.** *Οὐρανίας ἁψῖδος.*

Σκυθρωπάζειν καὶ βρέχειν
τὴν σὴν στρωμνὴν δάκρυσιν
οὐκ ἐπαύσω, Ἄνασσα θεία,
Λέοντος σύνευνε·
διὸ καὶ χάριν Χριστῷ
εὗρες πρεσβεύειν με λούειν
καθ' ἑκάστην δάκρυσι
τῆς μετανοίας μου.

Ἡ τοῦ βίου σου δρᾶσις,
ἡ τοῦ Χριστοῦ αἴνεσις
καὶ τῶν θείων νόμων μελέτη
σὲ ἀνεβίβασαν,
Θεοφανώ, εἰς αὐλὰς
τοῦ Λυτρωτοῦ, πρὸς ἃς πάντας
ἕλκυσον δεόμεθα
ταῖς ἱκεσίαις σου.

Συμπολῖτις ἀγγέλων
ἐν οὐρανοῖς πέλουσα
καὶ τοῦ τῆς ζωῆς θείου Ξύλου,
σύ, ἀπολαύουσα,
Θεοφανώ, τὸν Χριστὸν
ὑπὲρ ἡμῶν ἐκδυσώπει,
ὡς ἂν πάσης θλίψεως
πάντες ῥυώμεθα.

**Θεοτοκίον.**

Θεονύμφευτε Κόρη,
ὡς ἐπὶ γῆς τέξασαν
τὸν Παμβασιλέα ἀφράστως
σὲ μεγαλύνομεν·
καὶ καθ' ἑκάστην ταῖς σαῖς

www.tezaurliturgic.ro



πρεσβείαις σπεύδοντες σῷσον
συμφορῶν καὶ θλίψεων·
πάντες βοῶμέν σοι.

Διάσωσον,
Θεοφανώ, τοὺς ἱκέτας σου ἐκ κινδύνων,
δυσπραγίας δεινῆς, λιμοῦ καὶ πάσης κακώσεως,
ὡς χάριν εὑροῦσα παρὰ Κυρίου.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
*Ἦχος β'. Πρεσβεία θερμή.*

Ζυγὸν τὸν χρηστὸν
τοῦ Κτίσαντος ἐπ' ὤμων σου
λαβοῦσα, στεῤῥῶς
εὐμάρειαν βασίλειον
ἀπηρνήσω, ἔνδοξε,
καὶ σὸν πλοῦτον ἐδίδου, τοῖς σπεύδουσι
σῇ ἀρωγῇ, σεμνὴ Θεοφανώ·
διὸ καὶ τῆς ἄνω δόξης ἔτυχες.

**Ὠδὴ δ'.** *Εἰσακήκοα Κύριε.*

Εὐτελῆ καταγώγια
τῶν ἐνασκουμένων, σοφή, πλουτίσασα
τὴν πτωχείαν τῆς καρδίας μου
πλούτισον εὐχαῖς σου πρὸς τὸν Κύριον.

Οἰκετῶν σου τῆς φάλαγγος
ἐπιμελουμένη ὡς αὐταδέλφου σου
τοῦ Παντάνακτος ἐκίνησας,
ὦ Θεοφανώ, τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



Φιλαδέλφοις αἰσθήμασι
κατακοσμηθεῖσα ἐν πόλῳ ᾤκησας
καὶ Χριστῷ πρεσβεύεις, Ἄνασσα,
ἐν δικαίῳ πάντας πολιτεύεσθαι.

**Θεοτοκίον.**

Ἀσυγκρίτως, Παντάνασσα,
ὑπερτέρα πέλεις τῶν ἄνω τάξεων
ὡς τεκοῦσα τὸν Παντάνακτα,
τὸν θανάτου κράτος ἀφανίσαντα.

**Ὠδὴ ε΄.** *Φώτισον ἡμᾶς.*

Νύκτα μου παθῶν
ταῖς ἀκτῖσι τῆς ὁσίας σου
πολιτείας, βασιλὶς Θεοφανώ,
ἱκετεύω σε, ὁ τάλας, ἀποδίωξον.

Οὔ ποτέ τινα,
Βασιλίς, ἁπλῷ ὀνόματι
ἀπεκάλεσας ποθοῦσα τῇ τιμῇ
προηγεῖσθαι τούτου, λίκνον ταπεινώσεως.

Ὕμνοις τὸν Χριστὸν
μεγαλύνειν με ἀξίωσον
ἡ ἀπαύστως, ἀγλαὴ Θεοφανώ,
ἀνυμνοῦσα ἐν τῷ βίῳ τὸν Φιλάνθρωπον.

**Θεοτοκίον.**

Σῶσόν με, Ἁγνή,
ἐπηρείας τῆς τοῦ ὄφεως,
σωτηρίας ἡ ἀνοίξασα ἡμῖν
πύλας, Κύριον τεκοῦσα τὸν φιλεύσπλαγχνον.

www.tezaurliturgic.ro



## Ὠδὴ στ΄. Τὴν δέησιν.

Τὸν ἄφθαρτον δεδεγμένη στέφανον
ἐκ Θεοῦ ὡς ἀμοιβὴν τῶν σῶν πόνων,
Θεοφανὼ βασιλίς, τῶν ἀγγέλων
συγκοινωνὲ καὶ ἁγίων, δυσώπησον
Χριστὸν διδόναι τοῖς πιστοῖς
τὴν κατ' ἄμφω ὑγείαν καὶ δύναμιν.

Ἀφέσεως ταῖς σεπταῖς πρεσβείαις σου
ὕδωρ βλῦσόν μοι καὶ ξήρανον τάχος,
Θεοφανώ, τὸν χειμάῤῥουν παθῶν μου
καὶ μοχθηρᾶς συνηθείας τῆς φαύλης μου,
ἵνα ὑμνῶ σε, τὴν κρυπτῶς
κατατρύχουσαν σῶμα τοῖς ῥάκεσι.

Σεμνότητος καὶ ἀγάπης πρότυπον,
βασιλὶς Θεοφανώ, ἠξιώθης
μονὴν δομῆσαι τῇ καλλιπαρθένῳ
Ἀναστασίᾳ, μεθ' ἧς καθικέτευε
τὸν Κύριόν μου καὶ Θεὸν
τὴν ἀχλὺν ἐκδιῶξαι τῶν θλίψεων.

### Θεοτοκίον.

Λαμπρότητος τῆς ἐν πόλῳ μέτοχον
τὸν οἰκέτην σου, Πανάμωμε, δεῖξον,
τὸν σὲ ὑμνοῦντα ἀπαύστως αἰσίαις
φωναῖς ὡς μόνην τῷ κόσμῳ κυήσασαν
τὸν Φωτοδότην καὶ Θεόν,
ὑφηλίου τὸ Φῶς τὸ ἀνέσπερον.

Διάσωσον,
Θεοφανώ, τοὺς ἱκέτας σου ἐκ κινδύνων,
δυσπραγίας δεινῆς, λιμοῦ καὶ πάσης κακώσεως
ὡς χάριν εὑροῦσα παρὰ Κυρίου.

www.tezaurliturgic.ro



Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**

*Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.*

Τὴν διαθρύπτουσαν ἄρτον τοῖς πένησι
καὶ εὐθυμίαν ἀθύμων ὑπάρχουσαν
πιστῶς εὐφημήσωμεν κράζοντες·
Θεοφανώ, σοὺς ἱκέτας ἐκλύτρωσαι
κινδύνων, φθορᾶς καὶ στενώσεως.

**Προκείμενον.** *Ἦχος δ'.*

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

**Στίχος:** Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ πηλοῦ ἰλύος.

**Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ιε' 21 - 28)**

Τῷ καιρῷ ἐκείνῳ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος· καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγασεν αὐτῷ λέγουσα· ἐλέησόν με, Κύριε, υἱὲ Δαυΐδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτων αὐτὸν λέγοντες· ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἡ δὲ ἐλθοῦσα προσεκύνησεν αὐτῷ λέγουσα· Κύριε, βοήθει μοι. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ εἶπε· Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψυχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· ὦ γύναι, μεγάλη σου ἡ πίστις! γενηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

www.tezaurliturgic.ro



**Δόξα.**

Ταῖς τῆς σῆς Ὁσίας
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

**Προσόμοιον.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

*Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Βίον διανύσασα
ἐν Βασιλίδι τῇ πόλει,
Λέοντος τοῦ Ἄνακτος
σύνευνε πανεύφημε,
ἐνθεώτατον,
τῶν ἐν ταῖς θλίψεσι
καὶ πικρίαις ὄντως
βοηθέ, σαφῶς εἰσδέδεξαι
τοῦ θείου Πνεύματος
ἅπασαν τὴν χάριν καὶ γέγονας
τῆς ἄνω δόξης μέτοχος·
ὅθεν σοι προσπίπτομεν· πρέσβευε
τῷ Θεῷ τῶν ὅλων,
βασίλισσα κλεινή, Θεοφανώ,
εἰρήνην πᾶσι δωρήσασθαι
σὲ τοῖς μακαρίζουσι.

www.tezaurliturgic.ro



Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

**Ὠδὴ ζ'.** *Παῖδες Ἑβραίων.*

Ἴθυνον δῆμον ἱκετῶν σου
πρὸς αἰθέριον ἁγιωσύνης ὕψος
δι' ἀγῶνος στεῤῥοῦ, Θεοφανώ, πρὸς ὅπερ
δι' ἄκρας ταπεινώσεως
καὶ ἀσκήσεως ἐπήρθης.

Τίς σου ὑμνήσει ἐπαξίως
ἐλεήμονος ψυχῆς τὸ μεγαλεῖον,
μυροθήκη χρυσῆ, Θεοφανώ, ἀγάπης,
βοῶμεν, οἱ προστρέχοντες
ταῖς ἀπαύστοις σου πρεσβείαις.

Ἄνασσα, λάχανα καὶ ἄρτον
προετίμας τῶν πλουσίων ἐδεσμάτων
καὶ ἡμῖν τοῖς πιστοῖς
ἀφῆκες ὑποθήκην
μιμήσασθαι τὸν βίον σου
καὶ πτωχείαν ἀγαπῆσαι.

**Θεοτοκίον.**

Σπεύδων ταῖς ῥυπτικαῖς σου, Μῆτερ,
ἱκεσίαις πρὸς ὃν ἔτεκες ἀῤῥεύστως
ῥυπωθεὶς τῇ πολλῇ
κακίᾳ σοι κραυγάζω·
ἀπόπλυνόν με, Δέσποινα,
τῆς σῆς χάριτος τοῖς ῥείθροις.

**Ὠδὴ η'.** *Τὸν Βασιλέα.*

Ἀρνησαμένη
διὰ Χριστὸν τὰ ἐν κόσμῳ
ἠξιώθης Αὐτοῦ ἀπολαῦσαι

www.tezaurliturgic.ro



τῆς χαρᾶς ἐν πόλῳ,
Θεοφανὼ τρισμάκαρ.

Ἵνα γεραίρω
τὴν σὴν σεμνὴν πολιτείαν,
βασιλίς, ἐκ δεινῶν δυσχερείας
ἐλευθέρωσόν με,
Θεοφανώ, καὶ λύμης.

Τοὺς σὲ ὑμνοῦντας
ἐκ τῶν παγίδων τοῦ πλούτου
ῥῦσαι, Μῆτερ, ἡ ἐν ψιαθίῳ
ἀναπαυομένη
τραχεῖ ἐν τῷ δαπέδῳ.

**Θεοτοκίον.**

Οὐρανομήκει
φωνῇ ὑμνῶν σε, Παρθένε,
οὐρανίου ἀξίωσον δόξης
τὸν ἀνευφημοῦντα
σὲ γηθοσύνως, κράζω.

**Ὠδὴ θ΄.** *Κυρίως Θεοτόκον.*

Ὑμνεῖν τῆς εὐποιΐας,
Ἄνασσα, τὰ ἔργα
καὶ τῆς πολλῆς φιλανθρώπου σου δράσεως
τὸν προσφευγόντα σαῖς θείαις
λιταῖς ἀξίωσον.

Μετὰ τῆς Θεοτόκου
καὶ Ἁγίων Πάντων,
Θεοφανώ, τὸν Χριστὸν καθικέτευε
ὡς ἂν ῥυώμεθα πάσης
ἐχθροῦ κακώσεως.

www.tezaurliturgic.ro



Ἀγάπης τῆς ἐμπράκτου
ἄνθος μυροβόλον,
τὸ φυτευθὲν ἐν τῷ κήπῳ τοῦ Κτίσαντος,
Χριστοῦ ἀγάπης δοχεῖον
κἀμὲ ἀνάδειξον.

Ἰσχὺν τοῖς προσιοῦσι
τῇ σεπτῇ σορῷ σου,
Θεοφανώ, δίδου, ἵνα πατήσωσι
τὰς μηχανὰς τοῦ βεβήλου
καὶ πλάνου ὄφεως.

**Θεοτοκίον.**

Χριστοῦ τοῦ Βασιλέως
σκῆπτρον καὶ καθέδρα,
εὐλογημένη Παντάνασσα, πρόσδεξαι
τὰς ἱκεσίας τοῦ πόθῳ
σὲ μεγαλύνοντος.

Ἄξιόν ἐστιν... **Καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χαίροις, Φαναρίου ὁ θησαυρός,
χαίροις, εὐγενείας
καὶ ἀγάπης ὑπογραμμός,
χαίροις, βασιλίδων,
Θεοφανώ, σεμνότης
καὶ στῦλος ἐγκρατείας
ἀδιατάρακτος.

Ἀλουργίδος ἄνθη, Θεοφανώ,
περιβεβλημένη,
κοσμιότης βασιλισσῶν,
ἔκρυπτες τὰ ῥάκη,
τὰ ἔνδον τὸ σαρκίον
τὸ σὸν καταπονοῦντα,
ἀξιοθαύμαστε.

www.tezaurliturgic.ro



Μάνδραν ἀνεγείρας περικαλλῆ
τῇ Ἀναστασίᾳ
ἀθληφόρῳ, Θεοφανώ,
καὶ πτωχοὺς ἀγάπης
πλουτίσασα σοῖς ἔργοις
τῆς ἐν Χριστῷ πτωχείας
ὤφθης ἀρχέτυπον.

Θήκην τῶν λειψάνων σου τὴν σεπτὴν
πίστει προσκυνοῦντες
ἀρυόμεθα θαυμαστῶς
δύναμιν διῶξαι,
Θεοφανώ, ἀγάπης
ἐσφραγισμένε τόμε,
μῆνιν τοῦ δαίμονος.

Τὴν βασιλικήν σου περιβολὴν
λαμπροτέραν, Μῆτερ,
ἀπειργάσω ταῖς ἀρεταῖς·
ὅθεν καὶ ἐδέξω
διάδημα τῆς δόξης,
Θεοφανώ, ἀγάπης
ῥεῖθρα βλυστάνουσα.

Σέμβος σωτηρίας τῶν ὀρφανῶν
καὶ χηρῶν προστάτις
ἀνεδείχθης, Θεοφανώ,
βασιλὶς τιμία,
σοφίας θεῖον λίκνον·
διό σου εὐφημοῦμεν
μνήμην τὴν πάντιμον.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,

www.tezaurliturgic.ro



οἱ Ἅγιοι πάντες
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

*Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τοῦ βίου ἐπίκηρα ὡσεὶ ἀράχνης ἱστὸν
καὶ πλοῦτον βασίλειον,
Θεοφανὼ βασιλίς,
ὡς τέφραν νομίζουσα
ὤφθης φιλαδελφείας
πολυτίμητος τόμος
καὶ τῶν χειμαζομένων
βοηθὸς ταχυτάτη·
καὶ νῦν θερμὴ μεσῖτις ἡμῶν
πέλεις πρὸς Κύριον.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:**

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.*

Πάντας, βασιλὶς Θεοφανώ,
τῆς φιλαλληλίας ταυτότης,
φιλοπτωχείας κρηπίς,
γνώμης ἐλεήμονος
κανὼν εὐθύτατε
καὶ ἀγάπης τῆς κρείττονος
τερπνὴ μυροθήκη,
μνήμην τοὺς τιμῶντάς σου
τὴν πανακήρατον
καὶ τὴν τῶν λειψάνων σου θήκην
πίστει προσκυνοῦντας ἐκ πλάνης
σῷζε τοῦ δολίου πολεμήτορος.

www.tezaurliturgic.ro



Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον.**

Κρείττονος ἀγάπης, Θεοφανώ, δεῖξον
βάθρον Χαραλάμπη τὸν σὲ μελῳδοῦντα.

**ΤΕΛΟΣ**
**ΚΑΙ ΔΟΞΑ**
**ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ**
**ΘΕΩ ΗΜΩΝ**